καὶ φυλάξουσιν οἱ Λευῖται αὐτοὶ τὴν φυλακὴν τῆς σκηνῆς τοῦ
μαρτυρίου. [54]καὶ ἐποίησαν οἱ υἱοὶ Ισραηλ κατὰ πάντα, ἃ ἐνετείλατο 54
κύριος τῷ Μωυσῇ καὶ Ααρων, οὕτως ἐποίησαν.
[1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν καὶ Ααρων λέγων [2]Ἄνθρω- 2
πος ἐχόμενος αὐτοῦ κατὰ τάγμα κατὰ σημέας κατ᾽ οἴκους πατριῶν
αὐτῶν παρεμβαλέτωσαν οἱ υἱοὶ Ισραηλ· ἐναντίοι κύκλῳ τῆς σκη-
νῆς τοῦ μαρτυρίου παρεμβαλοῦσιν οἱ υἱοὶ Ισραηλ. [3]καὶ οἱ παρεμ- 3
βάλλοντες πρῶτοι κατ᾽ ἀνατολὰς τάγμα παρεμβολῆς Ιουδα σὺν
δυνάμει αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν Ιουδα Ναασσων υἱὸς Αμι-
ναδαβ· [4]δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι τέσσαρες καὶ ἑβδομήκοντα 4
χιλιάδες καὶ ἑξακόσιοι. [5]καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς 5
Ισσαχαρ, καὶ ὁ ἄρχων τῶν υἱῶν Ισσαχαρ Ναθαναηλ υἱὸς Σωγαρ·
[6]δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι τέσσαρες καὶ πεντήκοντα χιλιάδες 6
καὶ τετρακόσιοι. [7]καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Ζαβου- 7
λων, καὶ ὁ ἄρχων τῶν υἱῶν Ζαβουλων Ελιαβ υἱὸς Χαιλων· [8]δύνα- 8
μις αὐτοῦ οἱ ἐπεσκεμμένοι ἑπτὰ καὶ πεντήκοντα χιλιάδες καὶ τετρα-
κόσιοι. [9]πάντες οἱ ἐπεσκεμμένοι ἐκ τῆς παρεμβολῆς Ιουδα ἑκατὸν 9
ὀγδοήκοντα χιλιάδες καὶ ἑξακισχίλιοι καὶ τετρακόσιοι σὺν δυνάμει
αὐτῶν· πρῶτοι ἐξαροῦσιν.
[10]Τάγμα παρεμβολῆς Ρουβην πρὸς λίβα σὺν δυνάμει αὐτῶν, 10
καὶ ὁ ἄρχων τῶν υἱῶν Ρουβην Ελισουρ υἱὸς Σεδιουρ· [11]δύναμις 11
αὐτοῦ οἱ ἐπεσκεμμένοι ἓξ καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντα-
κόσιοι. [12]καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλῆς Συμεων, 12
καὶ ὁ ἄρχων τῶν υἱῶν Συμεων Σαλαμιηλ υἱὸς Σουρισαδαι· [13]δύνα- 13
μις αὐτοῦ οἱ ἐπεσκεμμένοι ἐννέα καὶ πεντήκοντα χιλιάδες καὶ τρια-
κόσιοι. [14]καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλῆς Γαδ, καὶ ὁ 14
ἄρχων τῶν υἱῶν Γαδ Ελισαφ υἱὸς Ραγουηλ· [15]δύναμις αὐτοῦ οἱ 15
ἐπεσκεμμένοι πέντε καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑξακόσιοι καὶ
πεντήκοντα. [16]πάντες οἱ ἐπεσκεμμένοι τῆς παρεμβολῆς Ρουβην ἑκα- 16
τὸν πεντήκοντα μία χιλιάδες καὶ τετρακόσιοι καὶ πεντήκοντα σὺν
δυνάμει αὐτῶν· δεύτεροι ἐξαροῦσιν. — [17]καὶ ἀρθήσεται ἡ σκηνὴ 17
τοῦ μαρτυρίου καὶ ἡ παρεμβολὴ τῶν Λευιτῶν μέσον τῶν παρεμ-

54 α] οσα A

2 2 αυτου / κατα ταγμα] tr. A | κατα 2⁰] και κατα τας A | σημεας A B^c] -μιας B* | εναντιοι] -τιον κυριου A: cf. 1 53 || 3 οι] ουτοι A*† | παρεμβαλοντες B*: item in 12. 14. 22 (et A^r in 29), non in 5. 7. 20. 27. 29 | πρωτοι] κατα νοτον B†, πρωτοι ÷ κατα νοτον *O* || 4 επεσκεμμενοι] ηριθμημενοι A†: item A uel A† in 6. 11. 13. 15. 16. 24. 26 et αριθμηθεντες in 31, sed etiam A επεσκ. in 8. 9. 19. 21. 23. 28. 30 || 7 φυλη A*: item A* in 20, A in 12. 14. 27, B in 14, neuter in 5. 22. 29 || 8 αυτων B || 9 παρεμβολης] φυλης A | ογδοηκ.] pr. και A | εξαρουσιν] αναζευξουσιν A: item in 16. 17. 24. 31 || 10 συν δυν.] δυναμις B || 16 της] pr. εκ B*†: ex 9, sed cf. 24. 31 | εκατον — μια] μια και πεντηκοντα και εκατον A: cf. 31 || 17 μεσον των] ανα μεσων A†